www.tezaurliturgic.ro

***Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)***

***Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)***

*************************************************************************

**Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# Μ Α Ρ Κ Ο Υ

## ΤΟΥ ΚΛΕΙΣΟΥΡΙΕΩΣ

*

*

*  *  *  *  *

*

*

www.tezaurliturgic.ro



Ἀθῆναι 2008

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# Μ Α Ρ Κ Ο Υ

## ΤΟΥ ΚΛΕΙΣΟΥΡΙΕΩΣ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ .................**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

******************************

**************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἱς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Μᾶρκε παναοίδιμε,
Κλεισούρας τίμιον βλάστημα,
Νεομάρτυς περίδοξε,
θεμέλιον ἄσειστον
πίστεως ἐπώφθης
και κρηπὶς ἀνδρείας
ἐν τοῖς ἐσχάτοις τοῖς καιροῖς·
διὸ σὴν μνήμην
νῦν ἑορτάζοντες
περιχαρῶς αἰτούμεθα
τὰς πρὸς Θεὸν ἱκεσίας σου,
ἵνα βίου τὸ πέλαγος
ἀσφαλῶς διαπλεύσωμεν.

www.tezaurliturgic.ro



**Μ**ᾶρκε γενναιότατε,
ὁ ὑπομείνας ἐπώδυνα
γεγηθὼς κολαστήρια
διὰ τὴν ἀλήθειαν
τοῦ Εὐαγγελίου
καὶ ὥσπερ κακοῦργος
εἰς Ἄργος τὸ Ὀρεστικὸν
ἀχθείς, Νεόαθλε καρτερόψυχε,
ἐν ᾧ καὶ τῆς ἀθλήσεως
ἤνυσας τρίβον ὡς ἄσαρκος,
ἐκδυσώπει τὸν Κύριον
ὑπὲρ πάντων τιμώντων σε.

**Μ**ᾶρκε, Νέον πίστεως
τοῦ Λυτρωτοῦ ἐγκαλλώπισμα,
τῆς εὐάνδρου ἐκβλάστημα
Κλεισούρας καὶ κύμινον
ἐν Χριστῷ ἀνδρείας,
ὁ εὐωδιάσας
τὸ Ἄργος τὸ Ὀρεστικὸν
τοῦ μαρτυρίου σου ἄθλοις, ἔνδοξε,
μὴ παύσῃ ἱλεούμενον
ἡμῖν τοῖς ἄγουσι μνήμην σου
τὴν λαμπρὰν καὶ πανέορτον
τὸν εὐΐλατον Κύριον.

**Μ**ᾶρκε, σὸν ὑπέρτιμον
καὶ πανσεβάσμιον λείψανον
οἱ τῆς Ἄγαρ ἀπόγονοι
οἱ πλάνοι παρέδοσαν
τῷ πυρὶ καὶ τούτου
τὴν σποδὸν αὐτίκα
εἰς Ἀλιάκμονος τὸν ῥοῦν
ἔχεαν, Μάρτυς Χριστοῦ Νεόαθλε,
τὴν μετὰ πότμον δόξαν σου
ὑπὸ πιστῶν οὕτω φεύγοντες,
Χριστωνύμου νεότητος
πολυτίμητον κόσμημα.

**Δόξα. Ἦχος β΄.**

www.tezaurliturgic.ro



Δεῦτε τὸν ἔνδοξον τοῦ Χριστοῦ Νεομάρτυρα,
Μᾶρκον τὸν Κλεισουριέα τιμήσωμεν
ὡς μὴ φεισάμενον κάλλους νεότητος καὶ ἀκμῆς ἡλικίας
φωναῖς αἰσίαις αὐτῷ βοῶντες·
ὁ ἁγιάσας Ἄργος τὸ Ὀρεστικὸν σοῖς ῥείθροις αἵματος
καὶ Ἁλιάκμονος ῥοῦν τῇ σποδῷ σοῦ λειψάνου,
μὴ παύσῃ Χριστοῦ δεόμενος
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τὴν πᾶσαν ἐλπίδα μου...

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Προύχοντος τὸν υἱὸν
εὐάνδρου νῦν Κλεισούρας
ὡς Νεοάθλων κλέος
τοῖς λευκανθέμοις, Μᾶρκον,
τῶν ὕμνων καταστέψωμεν.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ἄργος Ὀρεστικὸν
σεμνύνεται σοῖς ἄθλοις
τοῖς ἀηττήτοις, Μᾶρκε,
καὶ σοῖς σπαργάνοις κώμη
Κλεισούρας ἡ περίδοξος.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Μνήμην σου τὴν σεπτὴν
Κλεισούρα ἑορτάζει
ἐν τῷ σῷ φερωνύμῳ
Ναῷ, ἀλκίφρον Μᾶρκε,
Νεομαρτύρων στέφανε.

**Δόξα. Τριαδικόν.**

Ῥῦσαι ἡμᾶς παθῶν
καὶ πάσης ἐπηρείας
τοὺς Σὲ δοξολογοῦντας,
Τριὰς ὑπεραγία,
Θεότης τρισυπόστατε.

**Καὶ νῦν. Θεοτοκίον.**

Πόριζε τοῖς πιστοῖς
ὑγίειαν κατ᾽ ἄμφω
τοῖς μεγαλύνουσί σε
εἰς πάντας τοὺς αἰῶνας,
σεμνὴ Κλεισουριώτισσα.

Νῦν ἀπολύεις.....**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

# ΕΝ ΤΩ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσι.**

Εὐσταλῆ Νεομάρτυρα
τῆς Κλεισούρας τιμήσωμεν,
Μᾶρκον, μὴ φεισάμενον τῆς νεότητος
καὶ τῶν πατρῴων ἀνέσεων
διὰ τὴν ἀγάπησιν
τοῦ Σωτῆρος Ἰησοῦ
ἐν ἐσχάτοις τοῖς ἔτεσιν
ὕμνοις πρέπουσι
μιαιφόνοις χερσὶν υἱῶν τῆς Ἄγαρ
ἀπηνῶς ἀποκτανθέντα
Χριστὸν τρανῶς τὸν κηρύττοντα.

Τὸν υἱὸν Πέτρου προύχοντος
τῆς Κλεισούσας ὑμνήσωμεν
πίστιν μὴ πιθόμενον τὴν πανάμωμον
τοῦ Θεανθρώπου ἀρνήσασθαι
Χριστοῦ καὶ προκρίναντα
τῆς ζωῆς αὐτοῦ πληθὺν
τῶν βασάνων καὶ θάνατον
πολυώδυνον
ἐν ἀκμῇ ἡλικίας, θεῖον Μᾶρκον,
εὐανθὲς καὶ μυροβόλον
Νεομαρτύρων κιννάμωμον.

**Σ**υμμαχίᾳ τῆς πίστεως
τοῦ ἐχθροῦ τὴν παράταξιν,
Μᾶρκε, ἀθλοφόρων, καθεῖλες, σύμφυτε,
Χριστοῦ ὁπλῖτα στεῤῥότατε,
Κλεισούρας καλλώπισμα,
Ἄργει ἐν Ὀρεστικῷ
ὁ ἐννόμως τὸ στάδιον
τῆς ἀθλήσεως
διανύσας, καὶ θεῖος κληρονόμος
ἐποφθεῖς τῆς Βασιλείας
των οὐρανῶν, γενναιότατε.

**Ἐ**κκλησίας τοῦ Κτίσαντος
ἱερὸν σεμνολόγημα
καὶ τῆς κωμοπόλεως τῆς καλλίπαιδος
Κλεισούρας ἄνθος νεόφυτον
καὶ σέλας νεόφωτον
ἀνεδείχθης, ἀθλητὰ
Μᾶρκε, ὁ τοῖς ἀγῶσί σου
καὶ ἀθλήσει σου
ἐπευφράνας χορείαν Χριστωνύμων
τὴν ψαλμοῖς καὶ μελῳδίαις
μεγαλοφώνως τιμῶσάν σε.

**Δ**εδεμένον μετήνεγκον
ἐξ εὐάνδρου πατρίδος σου,
εὐκλεοῦς Κλεισούρας, δυνάσται ἄνομοι,
Μᾶρκε, φωσφόρε Νεόαθλε,
Χριστοῦ φίλε γνήσιε,
Ἄργος εἰς Ὀρεστικόν,
ἰταμῶς ἔνθα ἔκτανον
σέ, τὸ ὄνομα
τοῦ Σωτῆρος ἡμῶν ὁμολογοῦντα
εὐθαρσῶς καὶ ἀγογγύστως
τοὺς κολασμοὺς ὑπομένοντα.

**Μ**ᾶρκε, νέε μεγάλαθλε,
δόξῃ ἀγλαϊζόμενοι
σοῦ τῇ παναῤῥήτῳ καὶ μεγαλύνοντες
τὴν σὴν παγγέραστον ἄθλησιν
νῦν οἱ φιλομάρτυρες

www.tezaurliturgic.ro



ἐκβοῶμεν μυστικῶς·
Ἀσωμάτων ὁμόσκηνε
καὶ ὁμότροπε
τῶν Μαρτύρων τῶν πάλαι, μὴ ἐλλίπῃς
ἱλεούμενος τὸν Κτίστην
πιστῶς τελοῦσι τὴν μνήμην σου.

**Δόξα. Ἦχος πλ. β΄.**

Ἐπέφανε σήμερον ὡς ἀστὴρ νεολαμπὴς
ἡ νέα πανήγυρις Μάρκου, τοῦ ἐννόμου ἀριστέως τῆς πίστεως·
δεῦτε οὖν πάντες φιλομάρτυρες ἑορτὴν συστησάμενοι
ἀγαλλομέναις καρδίαις πανηγυρίσωμεν
καὶ αὐτῷ εὐλαβῶς εἴπωμεν·
Κλεισουριέων εὖχος περίδοξον,
ὁ καθελὼν τὴν ἔπαρσιν τῶν ἀπίστων
καὶ φαιδρύνας καταδυναστευομένων πιστῶν τοὺς δήμους,
ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον,
πρέσβευε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**
Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. μγ΄ 9 - 14)**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἤ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει

www.tezaurliturgic.ro


αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ΄ 1 - 9)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ε΄ 15 - στ΄ 3 )**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει

www.tezaurliturgic.ro



αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα.**

**Ἦχος α΄.**

Δεῦτε πιστοὶ τὸν ἀρτίως ἐν Κλεισούρᾳ ὡς ἥλιον ἀνατείλαντα
καὶ φωτίσαντα ψυχὰς πιστῶν τῶν δεδουλωμένων ἐσμοῖς ἀπίστων,
Μᾶρκον, τὸν εὐσταλῆ ἀνυμνήσωμεν Νεομάρτυρα,
ἐν εὐλαβείᾳ αὐτῷ βοῶντες·
ὁ ὑπομείνας ποικίλας βασάνους ἐν σῇ πατρίδι
καὶ κατώδυνον ἐν Ἄργει Ὀρεστικῷ θάνατον,
εἰς ὃ δεδεμένος μετηνέχθης,
μὴ παύσῃ τοῦ Κυρίου δεόμενος ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων
τὴν ἀεισέβαστον μνήμην σου.

**Ἦχος β΄.**

Υἱὸν τοῦ προύχοντος τῆς Κλεισούρας Πέτρου,
τὸν παριδόντα νεότητος κάλλος καὶ τρυφὰς πατρῴας,
Μᾶρκον, τὸν ἀριστέα τοῦ σταδίου τιμήσωμεν Νεομάρτυρα
αὐτῷ ἀξιοχρέως κραυγάζοντες·
ὁ νομίμως ἀγωνισάμενος καὶ μαρτυρίου δεξάμενος στέφανον
ὡς οὐρανοπολίτης Χριστὸν ἀδιαλείπτως ἱκέτευε
ὑπὲρ ψυχῶν τῶν τιμώντων ἐκθύμως τὴν πάνσεπτον μνήμην σου.

**Ἦχος γ΄.**

Τὸν αἰσχύναντα τοὺς θέλοντας σφραγίσαι

www.tezaurliturgic.ro


αὐτοῦ τὸ πάνσεπτον στόμα,
Χριστὸν τρανῶς κηρύττον ὡς Θεάνθρωπον
καὶ ἐκ γῆς ἀφανίσαι τὰ ἴχνη τῆς αὐτοῦ παρουσίας
διὰ σκορπίσεως τῆς σποδοῦ μετὰ τὴν καῦσιν
τοῦ αὐτοῦ ἱεροῦ λειψάνου εἰς ποταμὸν Ἀλιάκμονα,
Μᾶρκον τὸν τῆς Κλεισούρας Νεομάρτυρα, τιμήσωμεν λέγοντες·
τῶν πάλαι κλεινῶν Μαρτύρων ὁμότροπε καὶ ἰσοστάσιε,
ὁ ἐν ἐσχάτοις ἀθλήσας εὐσθενῶς ἔτεσιν,
ὡς μαρτυρικὴν ἔχων χάριν μὴ παύσῃ Χριστῷ πρεσβεύων
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

**Ἦχος δ΄.**

**Ὡ**ς στρατιώτης τοῦ Χριστοῦ νεοσύλλεκτος,
ἐνδυσάμενος τὴν πανοπλίαν τῆς πίστεως
καὶ περικεφαλαίαν τὴν εὔτολμον ὁμολογίαν τῆς εὐσεβείας,
Μᾶρκε, Κλεισουριεῦ περίδοξε,
εἰς ἀγῶνας ἐχώρησας λαμπροὺς Ὀρεστικῷ ἐν τῷ Ἄργει·
ὅθεν μαρτυρικῆς ἀξιωθεὶς εὐκλείας
τῆς στρατιῶν τῶν Ἀσωμάτων συνηριθμήθης
καὶ τῶν ἀθανάτων ἀγαθῶν κληρονόμος γενόμενος
θερμὸς ἡμῶν πρεσβευτὴς πρὸς τὸν Κύριον τῆς δόξης ἐδείχθης,
τὸν παρέχοντα ἡμῖν εὐχαῖς σου τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Δόξα. Ὁ αὐτός.**

**Δ**εῦτε, φιλεόρτων οἱ δῆμοι,
καινὴν συγκροτήσαντες σήμερον πανήγυριν
ἐν τοῖς ὑψώμασι τῆς εὐάνδρου Κλεισούρας
καὶ τῆς ἁγιοφρουρήτου πόλεως τοῦ Ἄργους Ὀρεστικοῦ,
Μᾶρκον, τὸν ἀήττητον Νεομάρτυρα εὐφημήσωμεν
ἐν κατανύξει βοῶντες·
ὁ τὴν ἀπάτην καθελὼν τῶν υἱῶν τῆς Ἄγαρ
ψυχικῇ σου εὐτονίᾳ καὶ θεοφθόγγοις σου ῥήμασιν,
ἐκ τοῦ ὕψους τῆς ἀῤῥήτου σου εὐκλείας ἐπόπτευε
καὶ ῥύου πάσης ἀνάγκης τοὺς σὲ μακαρίζοντας.

**Καὶ νῦν.Θεοτοκίον.**

www.tezaurliturgic.ro



Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, ....

**Εἰς τὸν Στίχον. Στιχηρὰ Ἀπόστιχα.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, τῆς εὐσεβείας ἡδὺς
καὶ θεῖος βότρυς, Μᾶρκε, Μάρτυς Νεόαθλε,
ὁ μείνας ἐν τῇ ἀμπέλῳ
τῆς Ἐκκλησίας Χριστοῦ
καὶ τῆς εὐψυχίας,
γενναιότητος,
καὶ θείας ἀγάπης σου
ἄχρι σῆς ἐναθλήσεως
ὁ ἀποστάξας
καὶ εὐφράνας ὁμήγυριν
τὴν Χριστώνυμον,
ὡς ἀπίστων κατάπτωμα·
θεῖον Κλεισούρας βλάστημα,
τῶν πάλαι ἰσότιμε
πανευσταλῶν ἀθλοφόρων,
ὁ νῦν συναγαλλιώμενος
Ἁγίοις Ἀγγέλοις,
σκέπε πάντας τοὺς τιμῶντας
τὴν θείαν μνήμην σου.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις, ἐν Ἄργει Ὀρεστικῷ
ὁ μαρτυρήσας εὐσθενῶς ὑπὲρ πίστεως,
εἰς ὅπερ καὶ δεδεμένος
μετήχθης, Μᾶρκε στεῤῥέ,
ἐκ τῆς σῆς πατρίδος,
ἔνθα Κύριον
Χριστὸν ὡμολόγησας
καὶ πληθὺν καθυπέμεινας
βασάνων ἄρτι,
καλλιμάρτυς περίδοξε,
ἀῤῥαγέστατον
εὐσεβείας θεμέλιον·
ἔχων οὖν πρὸς τὸν Ὕψιστον
ὡς μάρτυς ἀήττητος
ἰσχύν τε καὶ παῤῥησίαν

www.tezaurliturgic.ro


πολλὴν Αὐτὸν ἱλεούμενος
ἡμῖν μὴ ἐλλίπῃς
τοῖς ἐν ᾄσμασι τιμῶσι
τὴν θείαν μνήμην σου.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Χ**αίροις, ὁ ἁγιάσας σποδῷ
μετὰ τὴν καῦσιν τοῦ σεπτοῦ σου σηνώματος,
μεγάλαθλε Νεομάρτυς,
Μᾶρκε, Κλεισούρας βλαστέ,
ποταμοῦ τὰ ῥεῖθρα
Ἀλιάκμονος,
εἰς ἅπερ ἀπέῤῥιψαν
μετὰ σοῦ τὴν ἐνάθλησιν
αὐτὰ τῆς Ἄγαρ
οἱ ἀπόγονοι, ἔνδοξε,
πρὸς τῆς μνήμης σου
τῆς σεπτῆς ἐξαφάνισιν·
ἄλκιμε καρτερόψυχε,
νεότητος ἔκτυπον
τῆς φιλοθέου, μὴ παύσῃ
καθιλεούμενος Κύριον
ἡμῖν  τοῖς τιμῶσι
τὴν ὑπέρτιμόν σου μνήμην
ψαλμοῖς καὶ ἄσμασι.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Τ**ὸν πολύτιμον μαργαρίτην τῆς πίστεως
καὶ ἀδάμαντα τῆς καρτερίας ἐν τοῖς βασάνοις,
τὸν στεῤῥῶς ἀγωνισάμενον ὑπὲρ τῆς εὐσεβείας,
Μᾶρκον, τὸν ἀξιέραστον μάρτυρα τῆς πίστεως,
εὐφημιῶν ἄνθεσι καταστέψωμεν κράζοντες·
νεοάθλων ἀρίστων ἐκτύπωμα,
ὁ στεφάνους ἀφθαρσίας θεόθεν δεξάμενος,
τοὺς ἐν τῷ φερωνύμῳ τῆς Κλεισούρας Ναῷ σου συνελθόντας
τιμῆσαι σήμερον τὴν ἀεισέβαστον μνήμην σου,
ἀξίωσον Χριστὸν ὁμολογεῖν τὸν Θεάνθρωπον,
ἵνα σὺν σοὶ ἀπολαύσωσι τῆς ἀϊδίου ἀγαλλιάσεως.

www.tezaurliturgic.ro


**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Νεομάρτυς, Κλεισούρας εὐῶδες βλάστημα,
ὁ μαρτυρήσας γενναίως
ἐν Ἄργει Ὀρεστικῷ
ὡς ἑδραῖος εἰς τῆς πίστεως ἀλήθειαν
καὶ Ἁλιάκμονος τὸν ῥοῦν
ἁγιάσας τῇ σποδῷ
σκηνώματος τοῦ σεπτοῦ σου,
ἴσθι ἡμῶν ἀντιλήπτωρ
ἐν βίῳ, Μᾶρκε γενναιότατε.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**
*********************************

**********

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Ἐχθροὺς τοὺς ἀσεβεῖς
θεοσδότῳ σοφίᾳ
διήλεγξας στεῤῥῶς
καὶ τὸ θράσος καθεῖλες
αὐτῶν, Μᾶρκε ἔνδοξε,
Νεομάρτυς ἀήττητε·
ὅθεν μνήμην σου
τὴν φωτοφόρον τιμῶντες
ὡς νεόδμητον
ἔπαλξίν σε εὐσεβείας
ὑμνοῦμεν γηθόμενοι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἀνάστησον ἡμᾶς,
Θεοκῦμον Παρθένε,
πεσόντας εἰς δεινῆς
ἁμαρτίας τὸ χάος
εὐχαῖς Νεομάρτυρος
Μάρκου, τοῦ οὐρανόφρονος
γόνου, πάνσεμνε,
Κλεισούρας καὶ στρατιώτου
γενναιόφρονος
τῆς στρατιᾶς τοῦ Υἱοῦ σου,
ὦ Κλεισουριώτισσα.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

Φυτὸν εὐθαλέστατον
τῆς ἀληθείας Χριστοῦ,
νεότευκτον θέριστρον
ἀπίστων Ἄγαρ υἱῶν
καὶ ἄνθος μυρίπνοον
τόλμης ἐδείχθης ἄρτι,
Νεομάρτυρας Κλεισούρας,
Μᾶρκε, ὁ καθηδύνας
εὐσεβεῶν τὰς χορείας
ἐνστάσει σου στεῤῥᾷ καὶ σεπτῇ
ὄντως ἀθλήσει σου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Πιστῶν καταφύγιον
ἐν τοῖς τοῦ βίου δεινοῖς,
σεμνὴ Μητροπάρθενε,
ἡμᾶς ὑψόθεν ἀεὶ
τοὺς σὲ μακαρίζοντας
σκέπε καὶ περιφρούρει
καὶ εὐλόγει καὶ ῥύου
θλίψεων κατωδύνων
καὶ ἀνάγκης σοὺς δούλους,
Κυρία οὐρανοῦ τε καὶ γῆς,
Κλεισουριώτισσα.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**

**Ἦχος γ´. Τὴν ὡραιότητα.**

Σὴν στάσιν ἄτρεπτον καὶ γενναιότητα
ἰδόντες σύλλογοι πιστῶν, Νεόαθλε,
Κλεισουριέων ὡς λαμπρὸν ἀνύμνουν σε στεφανίτην,
τὸν ὁμολογήσαντα τοῦ Χριστοῦ θεῖον ὄνομα
ἄχρι θανατώσεως, Μᾶρκε θεομακάριστε,
ἐν τῷ Ὀρεστικῷ, μάκαρ, Ἄργει, γέρας νεοφανῶν
Μαρτύρων.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον.**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Εὐαγγέλιον κατὰ Ἰωάννην (Κεφ. ιε´ 17 -ιστ´ 2 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν..
**Ὅρα τὸ εἰς τὴν Λειτουργίαν τοῦ ἁγίου Γεωργίου.**

**Ὁ Ν´ Ψαλμός.**
**Δόξα.** Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β´.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Χρυσοκόλλητον στέφος εὐσεβῶν Κλεισουριέων
καὶ εὐσθενέστατον σθένος Χριστωνύμων ἁπάντων,
ἀσεβεῖς κατῄσχυνας σῇ ἐνστάσει καὶ πολλῇ παῤῥησίᾳ
καὶ μαρτυρίου ἤνυσας τὸ στάδιον χαίρων,
Μᾶρκε, Νεομάρτυς περίδοξε·
ὅθεν τὴν ὑπέρτιμον μνήμην σου σέβοντες

καὶ ὡς ἀριστέα σταδίου μεγαλύνοντες
τὰς ἀδιαλείπτους σου εὐχὰς αἰτούμεθα
πρὸς βίον κρείττονα καὶ ζωὴν τὴν αἰώνιον.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς·**

**" Μάρκῳ, Νεομάρτυρι Κλεισούρας, αἶνος . Χ. Μ. "**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Μελισταγέσιν ἐφυμνίοις μέλψωμεν
τὸν τῆς Κλεισούρας βλαστὸν
κρίνα μυροβόλα
ἄθλων ἐξανθήσαντα
πανευσθενοῦς ἀθλήσεως
ἐν ἐσχάτοις τοῖς χρόνοις,
Μᾶρκον, τῆς πίστεως σέμνωμα
καὶ τῆς ἀληθείας ὑπέρμαχον.

Ἀθλητικῶς ἐν σῇ ἀκμῇ νεότητος,
Μᾶρκε, τὴν σὴν βιοτήν,
καλλιμάρτυς πάνυ,
ἄρτι ἐπεράτωσας,
Κλεισούρας νέον κόσμημα,
καὶ ἀπείληφας στέφος
νίκης ἀρίστης χρυσόπλοκον
ἐκ χειρῶν Χριστοῦ τοῦ Παντάνακτος.

Ῥ οῦν σῷ σποδῷ τοῦ σκήνους Ἀλιάκμονος
τοῦ ποταμοῦ, ἀθλητὰ
Μᾶρκε, Νεομάρτυς
θεῖε, καθηγίασας,
ὁ πολιὰν τὴν φρόνησιν
ἐν σῇ νεότητι ἔχων
καὶ καθελὼν τῇ ἐνστάσει σου
ἀπογόνων Ἄγαρ τὸ φρύαγμα.

**Θεοτοκίον.**

Κεκοσμημένη ἀρετῇ σεμνότητος,
Μῆτερ Χριστοῦ τοῦ Θεοῦ,

www.tezaurliturgic.ro



καὶ πεποικιλμένη
δόξῃ θείᾳ, Δέσποινα,
ἁγνὴ Κλεισουριώτισσα,
ἀκλινῶς ἐποπτεύεις

ἐκ τῆς εὐκλείας τοῦ ὕψους σου
τοὺς εἰλικρινῶς σε γεραίροντας.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

**Ὡ**ς στεῤῥῶν Νεοάθλων
περιφανὲς σέμνωμα,
Μᾶρκε, μαρτυρίου βασάνους
πίστει ὑπέμεινας
καὶ Ἄργος Ὀρεστικὸν
σεπτῶν αἱμάτων σου ῥείθροις
ἄρτι καθηγίασας·
ὅθεν τιμῶμέν σε.

**Ν**εαυγέστατον ἄστρον
τῆς τοῦ Χριστοῦ πίστεως,
Μᾶρκε, ἀστραπαῖς σῆς ἀλκίμου
δράσεως ηὔγασας
Κλεισούραν, φῶς τοῦ κτιστοῦ
ἐν ᾗ κατεῖδες ἡλίου,
καὶ ἀπάτης ζόφωσιν
πλάνων διέλυσας.

**Ἐ**κ χειρῶν τοῦ Κυρίου
στέφος χρυσοῦν εἴληφας
δόξης ἀϊδίου, τρισμάκαρ
Μᾶρκε, νεότητος
ὁ τὴν ἀκμὴν παριδὼν
καὶ πλοῦτον σοῦ τῶν γονέων
διὰ τὴν εὐσέβειαν,
ἧς ὑπερήθλησας.

**Θεοτοκίον.**

**Ὀ**χετοὺς τῶν δακρύων
δούλων τῶν σῶν σφόγγισον,
Κεχαριτωμένη Παρθένε,

Θεογεννήτρια,
τῶν σὲ ὑμνούντων λαμπρῶς
ὡς εὖχος Κλεισουριέων,
ἀρωγόν, ἀκέστορα
καὶ ἀντιλήπτορα.

**Κάθισμα. Ἦχος γ´. Θείας πίστεως.**

Εὐθαλέστατε Κλεισούρας γόνε,
Μᾶρκε, κλέϊσμα Νεομαρτύρων,
Ἄργους τοῦ Ὀρεστικοῦ ἐγκαλλώπισμα
καὶ Ἐκκλησίας πολύτιμε σάπφειρε,
Ἄγαρ υἱῶν τὴν ἀπάτην διέλυσας
ἐναθλήσει σου στεῤῥᾷ καὶ ῥοαῖς αἱμάτων σου,
δι’ ὧν χοροὺς Μαρτύρων κατηγλάϊσας.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τοὺς προστρέχοντας σῇ θείᾳ σκέπῃ,
Μῆτερ ἄχραντε, Κλεισούρας εὖχος,
ἐλεοῦσα μὴ ἐλλίπῃς ἀείποτε
καὶ ἀσινεῖς συντηροῦσα τοῦ ὄφεως
ἐπιβουλῆς, παντευλόγητε Δέσποινα,
Νεομάρτυρος νῦν Μάρκου τοὺς ἑορτάζοντας
τὴν μνήμην τὴν ἁγίαν καὶ πανεύφημον.

**ᾨδὴ δ´. Σύ μου ἰσχύς.**

Μαρτυρικῶς
τελέσας βίον τὸν πρόσκαιρον,
Νεομάρτυς
εὐσθενὲς τῆς πίστεως,
ἐν Ἄργει, Μᾶρκε, Ὀρεστικῷ
παμφαῶν Ἀγγέλων ἰσότιμος δόξης γέγονας
καὶ δόμων οὐρανίων
παμφώτων κληρονόμος,
Κλεισουριέων κλέος πάνσεπτον.

Ἀνδροπρεπῶς
ἀνύσας σκάμμα ἀθλήσεως,
καλλιμάρτυς
Μᾶρκε, ὤφθης πρότυπον

www.tezaurliturgic.ro


τῆς νεολαίας τῆς εὐσεβοῦς
καὶ Νεομαρτύρων τῆς πίστεως σεμνολόγημα·
διό σε ἀνυμνοῦντες
ᾠδαῖς μελισταγέσι
μνήμην σὴν θείαν ἑορτάζομεν.

Ῥείθροις τῶν σῶν
αἱμάτων, Μᾶρκε, ἡγίασας,
Νεομάρτυς,
στρατιῶτα πίστεως
γενναῖε, Ἄργος Ὀρεστικὸν
καὶ τοῦ Ἀλιάκμονος ῥεύματα τὰ ποτάμια
σποδῷ σκηνώματός σου,
κατάπτωμα τυράνων
καὶ Χριστωνύμων ἀγαλλίαμα.

**Θεοτοκίον.**

Τοὺς εὐλαβῶς
τῇ χάριτί σου προσφεύγοντας
ἐν κινδύνοις
καὶ ἀνάγκαις πάντοτε
Κλεισουριώτισσα θαυμαστή,
Κεχαριτωμένη, ἁπάντων πιστῶν διάσωσμα,
εὐλόγει οὐρανόθεν
καὶ δαψιλῶς σὴν χάριν
καὶ προστασίαν, Μῆτερ, πάρεχε.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Ὕμνοις χαριστηρίοις
ἡ Κλεισούρα πόθῳ δοξάζει Κύριον,
ἀγαθῶν δοτῆρα,
ἀναδείξαντα, Μᾶρκε, σὲ πρόβολον
εὐκλεῶν Μαρτύρων
καὶ ἱεροῖς σεμνυνομένη
σοῖς σπαργάνοις αἰτεῖται τὴν χάριν σου.

Ῥεύμασι ποταμίοις
σοῦ σκηνώματος κόνις τοῦ Ἀλιάκμονος
γῆν Μακεδονίας,

www.tezaurliturgic.ro



ἣν αὐτὸς διαῤῥέει ἡγίασε,
τρισμάκαρ Νεομάρτυς,
Κλεισουριέων εὖχος,
Μᾶρκε, πίστεως ἔμπνουν θησαύρισμα.

Ἰταμῶς ἀπεκτάνθης
ταῖς χερσὶν ἀπίστων, Μάρτυς Νεόαθλε,
τοῦ Χριστοῦ τὴν κλῆσιν
τὴν σεπτὴν καὶ ἁγίαν καὶ πάντιμον
ὁμολογῶν εὐτόλμως
Ἄγαρ ἐκγόνων ἐναντίον,
Μᾶρκε σῶφρον, ἐσχάτοις ἐν ἔτεσι.

**Θεοτοκίον.**

Καλλιπάρθενε Μῆτερ
τοῦ Ὑψίστου, πάνυ Κλεισουριώτισσα,
ἴθυνον σοὺς δούλους
πρὸς νομὰς οὐρανῶν ὡς ἰθύντειρα
πιστῶν ἀπλανεστάτη,
τοῖς ἑορτάζουσιν ἐν ὕμνοις
Μάρκου μνήμην, κλεινοῦ Νεομάρτυρος.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

Λαμπρότατον εὐσεβείας πρότυπον,
ὁ λαμπρὸς Κλεισουριεύς, Μᾶρκε θεῖε,
ὡς οὐρανίου φαιδρότητος πλήρης
καὶ τῷ προσώπῳ ὡραῖος, ἐπάλαισας
στεῤῥῶς ἀπίστων τοὺς ἑσμοὺς
καὶ ἐνήθλησας ὥσπερ ἀσώματος.

Ἐφάμιλλος ἀριστέων πίστεως
τῶν ἀρχαίων ἐν ἐσχάτοις τοῖς χρόνοις
διὰ πανσέπτων ἀγώνων ἐπώθης,
Μᾶρκε, αὐτῶν ὁ ζηλώσας εὐστάθειαν
καὶ θριαμβεύσας ἀκλινῶς
ἐπιβούλων ἐχθρῶν τὰ συστήματα.

Ἰσχύϊ σου οὐρανίῳ ἔθραυσας
ἅπαν φρύαγμα τῆς Ἄγαρ ἐκγόνων
καὶ τῇ ἀτρέπτῳ σου στάσει χορείας

www.tezaurliturgic.ro


τῶν Χριστωνύμων Κλεισούρας κατηύφρανας
καὶ Ἄργους τοῦ Ὀρεστικοῦ,
ἐν ᾧ δρόμον σοῦ βίου τετέλεκας.

**Θεοτοκίον.**

Σοὺς πρόσφυγας, Παναγία Δέσποινα,
ἀναγκῶν καὶ περιστάσεων ῥύου,
Κλεισουριώτισσα, νῦν τοὺς ὑμνοῦντας
τοῦ Νεομάρτυρος Μάρκου τὰ σκάμματα
καὶ ἐκτελοῦντας εὐλαβῶς
τὴν αὐτοῦ μνήμην τὴν πανσεβάσμιον.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Κλεισουριέων θεοτίμητον ἐκβλάστημα,
τὸν ἐν τῷ Ἄργει τῷ Ὀρεστικῷ ἀθλήσαντα
καὶ εὐτόλμως καθελόντα ὀφρὺν ἀπίστων,
Ἁλιάκμονος τὸν ῥοῦν καθαγιάσαντα
τῇ σποδῷ αὐτοῦ τοῦ σκήνους εὐφημήσωμεν
πόθω κράζοντες· Χαίροις, Μᾶρκε Νεόαθλε.

**Ὁ Οἶκος.**

Ἄγγελος ἐν ἀθλήσει,
Νεομάρτυς ἐδείχθης,
Κλεισούρας γόνε, Μᾶρκε τρισμάκαρ,
ὁ ἐν Ἄργει τῷ Ὀρεστικῷ
εὐσθενῶς τελέσας δρόμον ἀθλήσεως
σῆς παναρίστου, ἔνδοξε·
διό σοι ἐν χαρᾷ βοῶμεν·

Χαῖρε, Κλεισούρας ὁ θεῖος γόνος·
χαῖρε, ἀνδρείας τὸ νέον εὖχος.

Χαῖρε, τοῦ Κυρίου τὸ νέον ἐκλόγιον·
χαῖρε, τοῦ Ὑψίστου νεόδρεπτον λείριον.

Χαῖρε, ὅτι καθηγίασας Ἄργος τὸ Ὀρεστικόν·
χαῖρε, ὅτι στέφος εἴληφας ἀληθῶς ἀθλητικόν.

Χαῖρε, τῆς νεολαίας ὁ κανὼν καὶ ὁ γνώμων·
χαῖρε,  στεῤῥοψυχίας ἀκρεμὼν ἀθλοφόρων.

Χαῖρε, υἱῶν τῆς Ἄγαρ κατάπτωσις·

www.tezaurliturgic.ro



χαῖρε, θεσμῶν θεσφάτων βεβαίωσις.

Χαῖρε, κρουνὸς εὐψυχίας ἀῤῥήτου·
χαῖρε, λαμπρὸς ἀθλητὴς τοῦ Δεσπότου·

Χαῖρε, Μᾶρκε Νεόαθλε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ................ Εἶτα λέγομεν.**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἐνδόξου Νεομάρτυρος Μάρκου τοῦ Κλεισουριέως, τοῦ ἐν Ἄργει Ὀρεστικῷ γενναίως ἀθλήσαντος.

**Στίχοι.**

Χαίρει, καλλίπαις Κλεισούρα, Νεόαθλε
Μᾶρκε, σὲ ἔχουσα ἐν Σιὼν οἰκεῖον.

**Συναξάριον.**

Ὁ ἔνδοξος Νεομάρτυς Μᾶρκος ἦν τέκνον τοῦ προύχοντος τῆς καλλίπαιδος Κλεισούρας Πέτρου. Μὴ πιθόμενος τὴν εὐσέβειαν ἀρνήσασθαι ἐν τοῖς δυσχειμέροις τῆς δουλείας χρόνοις καὶ τὴν ἀπάτην τῶν υἱῶν τῆς Ἄγαρ ἀσπάσασθαι συνελήφθη καὶ πολλὰς ὑπομείνας κακώσεις καὶ βασάνους κατώδυνους ὡδηγήθη εἰς Ἄργος Ὀρεστικόν, ἔνθα μαρτυρικοὺς ἐδέξατο στεφάνους. Τὸ ἱερὸν αὐτοῦ σκήνωμα ῥιφὲν εἰς τὸ πῦρ κατεκάη καὶ ἡ σποδὸς αὐτοῦ ἐσκορπίσθη εἰς τὸν Ἀλιάκμονα ποταμόν, ἵνα μὰ συλλεγῇ καὶ τιμηθῇ ὑπὸ τῶν εὐσεβῶν Χριστωνύμων. Ναὸς φερώνυμος αὐτοῦ ἠγέρθη ἀμέσως ἐν τῇ πατρίδι αὐτοῦ, ἣν οἱ ἄπιστοι εἰς πῦρ καὶ αὐτὸν παρέδοσαν. Οἱ εὐσεβεῖς ὅμως Κλεισουριεῖς ἐπανεδόμησαν αὐτὸν πρὸς τιμὴν τοῦ Εὐαγγελιστοῦ Μάρκου, ἵνα ἀποφύγωσι τὴν μῆνιν τῶν καταδυναστευομένων αὐτοὺς τυράννων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.**

Ὅμιλος εὐκλεῶν Μαρτύρων
ὑπεδέξατο ἐν ἄκρᾳ εὐφροσύνῃ
ἐν σκηναῖς οὐρανῶν

www.tezaurliturgic.ro



σέ, Μᾶρκε ἀθλοφόρε,
αὐτοῦ ὥσπερ ὁμότροπον
καὶ ἰσότιμον τῆς δόξης.

Ὕψωσον γέρας Χριστωνύμων
ἀνυμνούντων σου τὴν φωτοφόρον μνήμην,
ὁ τὴν κλῆσιν Χριστοῦ
ἐν ἄθλοις μεγαλύνας,
Κλεισουριεῦ περίδοξε,
Μᾶρκε, σκήνωμα ἀνδρείας.

Ῥῶσιν παρέχεις τοῖς τιμῶσι
σοῦ τὴν ἄθλησιν τὴν σεβασμίαν, Μᾶρκε,
Νεομάρτυς στεῤῥέ,
πυξίον εὐτολμίας,
κρουνὸς ὡς θεολάξευτος
καὶ θεόβρυτος χειμάῤῥους.

**Θεοτοκίον.**

Ἄνευ σπορᾶς ἡ συλλαβοῦσα
καὶ γεννήσασα Χριστὸν ἄνευ ὠδίνων,
ἐκδυσώπει ἀεὶ
Υἱὸν μονογενῆ σου,
σεμνὴ Κλεισουριώτισσα,
ὑπὲρ πάντων οἰκετῶν σου.

**Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.**

Σοῦ σποδὸν οἱ παράνομοι λειψάνου
εἰς ποτάμιον ῥοῦν
ἀπέῤῥιψαν, στεῤῥόφρον,
Νεομαρτύρων κλέος, Ἁλιάκμονος,
Μᾶρκε, ἵνα χθόνα
τῆς Μακεδονίας
ἀεὶ καθαγιάζῃς.

Ἀριστεῦ τοῦ σταδίου νέε, Μᾶρκε,
Ἄργος Ὀρεστικὸν
κατεῖδέν σου τοὺς ἄθλους
καὶ σῆς ψυχῆς τῆς εὐσθενοῦς εὐγένειαν

καὶ καθηγιάσθη,
Μάρτυς, τῶν τιμίων
αἱμάτων σου ῥανίσιν.

Ἰσχυρὸς κατενώπιον ἀπίστων
ἀνεδείχθης σαφῶς
ἐν τοῖς ἐσχάτοις χρόνοις,
Νεομαρτύρων, Μᾶρκε, σεμνολόγημα,
ὁ τὴν Ἐκκλησίαν
τοῦ Χριστοῦ φαιδρύνας
εὐψύχῳ σου ἐνστάσει.

**Θεοτοκίον.**

Νικητὰς δεῖξον πάντας ὑμνητάς σου,
Θεοτόκε ἁγνή,
ἐν μάχαις καθ᾽ ἡμέραν,
τοὺς εὐλαβῶς, ἁγνὴ Κλεισουριώτισσα,
σπεύδοντας σῇ σκέπῃ,
θείᾳ προστασίᾳ,
φρουρᾷ καὶ ἀντιλήψει.

**Ὠδὴ θ´ . Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.**

Ὁδὸν τοῦ μαρτυρίου τετελεκὼς
εἰς νομὰς οὐρανίους ἐσκήνωσας,
ἔνθα χοροὶ
τῶν ἀρχαίων, ἔνδοξε, ἀθλητῶν
δοξολογοῦσι Κύριον,
τὸν ἀγωνοθέτην τὸν ἱερόν,
ἀλκίφρον Νεομάρτυς,
Κλεισούρας θεῖε γόνε,
Μᾶρκε, ὄλβε πολύτιμε πίστεως.

Σεμνύνεται νῦν Ἄργος Ὀρεστικὸν
σῇ ἀλκίμῳ ἐνστάσει, Νεόαθλε,
Μᾶρκε στεῤῥέ,
καὶ Κλεισούρα γάνυται ἀληθῶς
σπαργάνοις τοῖς τιμίοις σου,
Ἐκκλησίας αὔγασμα νεαυγές,
ὁ ζόφωσιν σκεδάσας
ἀπίστων καὶ φωτίσας

www.tezaurliturgic.ro


Χριστωνύμων ἁπάντων τὸν σύλλογον.

**Χ**αρὰ Κλεισουριέων Χριστιανῶν,
Νεομάρτυς Χριστοῦ γενναιότατε,
Μᾶρκε, ἡμῶν
δίωξον τῶν θλίψεων τὴν ἀχλύν,
τῶν εὐλαβῶς τὴν μνήμην σου
νῦν ἑορταζόντων τὴν ἱερὰν
ἐν σοῦ τῷ φερωνύμῳ
Ναῷ, ὑπερκειμένῳ
τῆς εὐάνδρου πατρίδος σου, πάγκαλε.

**Θεοτοκίον.**

**Μ**ὴ παύσῃ δυσωποῦσα τὸν σὸν Υἱὸν
ὑπὲρ πάντων ἀεὶ προστρεχόντων σοι
καὶ μελιχροῖς
ὕμνοις σε τιμώντων πανευλαβῶς,
σεμνὴ Κλεισουριώτισσα,
ὡς πιστῶν ἀντίληψιν κραταιάν,
ἑτοίμην προστασίαν
καὶ ἀρωγὴν ἐν δίναις
καὶ ἀνάγκαις, πανύμνητε Δέσποινα.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

**Τ**ὴν πίστιν οὐκ ἀρνούμενος
καὶ πόνων οὐ πτοούμενος
μαρτυρικῶν ὡδηγήθης
ἐκ τῆς Κλεισούρας εἰς Ἄργος
Ὀρεστικόν, Νεόαθλε,
ἐν ᾧ στεῤῥῶς ἐνήθλησας
διὰ Χριστοῦ ἀγάπησιν,
Μᾶρκε, νεόδρεπτον κρίνον
τῆς τοῦ Χριστοῦ Ἐκκλησίας.

**Θεοτοκίον.**

**Κ**λείσουρας σκέπη ἄγρυπνε,
σεμνὴ Θεογεννήτρια,
μὰ διαλίπῃς θεόθεν
ἡμᾶς ἀεὶ ἐφορῶσα

τοὺς ὕμνοις σε γεραίροντας
καὶ μνήμην ἑορτάζοντας
Μάρκου τοῦ Νεομάρτυρος,
τοῦ δι᾽ ἀγάπην Υἱοῦ σου
χερσὶν ἀνόμων κτανθέντος.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

**Κ**λεισούρας πάνσεπτον γόνον
ἀνευφημήσωμεν,
Νεομαρτύρων εὖχος
καὶ θησαύρισμα μέγα
Χριστοῦ τῆς Ἐκκλησίας ὕμνοις φαιδροῖς
εὐσεβεῖς φιλομάρτυρες,
ὡς ἀριστείας κρηπῖδα ἀρτιπαγῆ,
Μᾶρκον, πρότυπον νεότητος.

**Ὀ**ρεστικῷ ἐν τῷ Ἄργει
τὸν ἐναθλήσαντα
διὰ Χριστοῦ τὴν πίστιν,
γενναιόφρονα Μᾶρκον,
ἐν χρόνοις τοῖς ἐσχάτοις δεῦτε λαμπροῖς
εὐφημήσωμεν ᾄσμασιν,
οὗ Ἁλιάκμονος ῥεῖθρα αὐτοῦ σποδὸν
τοῦ λειψάνου ὑπεδέξαντο.

**Τ**ὸν εὐκλεῆ στεφηφόρον
καὶ καλλιμάρτυρα,
τὸν θεωρὸν τοῦ Λόγου
τῆς τερπνότητος πάντες
Νεόαθλον νῦν Μᾶρκον πανευλαβῶς
καταστέψωμεν ἄνθεσι
τερπνῶν ᾀσμάτων ἀῤῥήτου ὡς κοινωνὸν
ὡραιότητος Χριστώνυμοι.

**Τ**ὴν σὴν πανίερον μνήμην
πανηγυρίζοντες,
Κλειρουριεῦ γενναῖε,
ἐν ἀκμῇ ἡλικίας

ὁδὸν ὁ διανύσας ἀνδροπρεπῶς
μαρτυρίου κραυγάζομεν·
Χαῖρε, θεμέλιον πίστεως ἀῤῥαγές,
Μᾶρκε, πρότυπον σεμνότητος.

**Δόξα. Ἦχος πλ. α΄.**

**Χ**ριστὸν ὁλοσχερῶς ἀγαπήσας
καὶ ὑπεριδὼν νεότητος ἀκμὴν καὶ κόσμου εὐδοξίαν
πρὸς γενναίαν ἄθλησιν ἐχώρησας ἐκθύμως,
Μᾶρκε, Κλεισούρας διάκοσμε ἀτίμητε·
τελέσας οὖν ἐν Ἄργει Ὀρεστικῷ εὐσθενῶς τὸ μαρτύριον
ἀπῆλθες Χριστῷ ὑπαντῆσαι, τῷ σὲ στεφανώσαντι
καὶ παρέχοντι εὐχαῖς σου ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

**************************************************

## ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος πρὸς Ἐφεσίους (Κεφ. στ΄ 10 -17 ).**
Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος....
**(Ζήτει τῇ ΚΖ΄ Κυριακῇ).**
**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. κα΄ 12 - 19 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...
**Ὅρα τὸ εἰς τὸν Ὄρθρον τοῦ Ἁγίου Γεωργίου.**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

**Μ**ᾶρκε, Νεομάρτυς Κλεισουριεύς,
ἤθλησας ἀρτίως
ἐν τῷ Ἄργει Ὀρεστικῷ

www.tezaurliturgic.ro



καὶ σκηνώματός σου
ἡ κόνις ἐσκορπίσθη
χερσὶν ἐκγόνων Ἄγαρ
εἰς Ἀλιάκμονα.

**Δίστιχον.**

**Μᾶρκον, Νεομάρτυρα ὕμνησε χάριν**
**Σεραφεὶμ καὶ Ἀλεξίου Χαραλάμπης.**

**ΤΕΛΟΣ**

**ΚΑΙ ΔΟΞΑ**

**ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ**

**ΘΕΩ ΗΜΩΝ**

**Ἀρίθμ. Καταλ. 457 / 11-9-08**